Pages 28 à 30 :

ΕΙΣ ΤΟΝ ΜΕΤΑΚΟΜΙΣΘΕΝΤΑ ΕΚ ΝΑΖΑΡΕΘ ΕΙΣ ΤΗΝ ΛΑΥΡΗΤΗΔΑ ΚΩΜΗΝ ΥΠΟ ΤΩΝ ΑΓΓΕΛΩΝ ΤΗΣ ΠΑΡΘΕΝΟΥ ΟΙΚΟΝ.

Δέρκεις οὐρανίωνας ἀειρομένους μικρὸν οἶκον;
οὗτος τὸν Μαρίης ἠχθοφόρησε τόκον.
Ἔστι μικρὸς σκοπέοντι, ἀτὰρ μέγας ἐστὶ νοοῦντι·
τοὕνεκεν ἐκ βάρεος μυριὰς ὕψι φέρει.
Ἐκ τούτου δὲ νόησον ὅσον βάρος ἔπλετο οἴκου·
ὅττι πόλος δι' ἑνὸς, τὸς δ' ὑπὸ μυριάδων.
Καὶ σὺ, πάτερ Λήμμα, πλέον ἔγραφες ἀμφὶ μελάθρου
μικρὰ γραψαμένων ἀμφὶ πόλων μεγάλα.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Λάϊνον ὅττε φέροντες ἐπέτρεχον ἄγγελοι οἶκον
ἤγαγον εἰς Λαύραν χωρίον Αὐσονίης,
μικροῦ δ' ἀντὶ δόμοιο τέως πόλιν ἔκτισε κώμη·
μάνθανε δὴ τὸ σέβας θειοδόχου μεγάρου·
ἂν τὴν βίβλον ἴδῃς, μέγεθος μικρὸν ἂν δὲ νοήσῃς,
σοὶ μέγα μὲν δόξει Λῆμμα θεοφροσύνης.

Ἱερώνυμος Κιγάλας ὁ Κύπριος ἐποίει.

ΙΑΜΒΕΙΟΝ ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἐκ Ναζαρὲθ μὲν ἐσμὸς ἀγγέλων μέγας
τὸν ἱρὸν οἶκον ἀμφιπεσσῶν τῆς Κόρης
μετώχμασαν πρὶν Λαυρέτου πρὸς χωρίον,
κἀκ τοῦ μέγιστον οἶσιν ἐμμένει κλέος.
Μένει δὲ καὶ σοὶ κῦδος ἀγγέλοις ἴσον,
ὦ Μάρκε, Κούρης εὐλαβέστατον κάρα,
καὶ σῆς ἄωτον εὐφυέστατον πάτρας·
κἂν γὰρ τὸν αὐτὸν οὐ μετήνεγκας δόμον,
ἀλλ' οὖν γε φωνεῖς ἡδυφώνοις σου λόγοις
πρὸς οὗ θέαν τε καὶ πρὸς ὕμνον Παρθένου.

Γουλιέλμος Ῥότας ὁ Μήλιος ἐποίει.